# E.

**Δημητρίου Προκοπίου, ἐπιτετμημένη ἐπαρίθμησις τῶν κατὰ τὸν παρελθόντα αἰῶνα λογίων Γραικῶν, καὶ περί τινων ἐν τῷ νῦν αἰῶνι ἀνθούντων.**

Ὁ Ἱερεμίας πατριάρχης Κωνσταντινουπόλεως, πρὸς ὃν ἔγραψαν οἱ ἐν Τιβίγγῃ διδάσκαλοι, καὶ ἀπεκρίθη αὐτοῖς μετὰ διακρίσεως, καὶ εὐσεβείας πολλῆς.

Θεοδόσιος ὁ Ζυγομαλᾶς, οὗτος ἤκμαζεν ἐπὶ τοῦ διαληφθέντος Ἱερεμίου πατριάρχου· ἐτετίμητο καὶ ὀφφικίῳ ἐκκλησιαστικῷ, ἐχρῆτο δὲ αὐτῷ ὁ πατριάρχης ἐν πάσαις ταῖς ἀναγκαίαις αὐτοῦ καὶ ἀξιολόγοις ὑποθέσεσι· καὶ ἵν' οὕτως εἴπω, ἦν αὐτῷ ὅσα καὶ δεξιὰ χείρ· δόκιμος ἀνὴρ καὶ σοφός.

Γαβριὴλ ὁ Σεβῆρος, μητροπολίτης Φιλαδελφείας, ὁ τὸ περὶ μυστηρίων συνταγμάτιον συγγραψάμενος, καὶ περὶ τῶν πέντε διαφορῶν τῆς ἀνατολικῆς καὶ δυτικῆς ἐκκλησίας, καὶ ἄλλα τινά· ἀλλ' εἰ τὰ παρὰ Μαργουνίου κατ' αὐτοῦ ἐκφωνηθέντα καὶ γραφέντα ἀληθείας ἔχεται, μηδὲ πάθους τινὸς ἐνδομυχοῦντός εἰσι κυήματα, ὀλίγων ἐπαίνων ἄξιος ἦν ὁ Σεβῆρος.

Μελέτιος ὁ Πηγᾶς, πάπας Ἀλεξανδρείας, ὁ συγγράψας διαλογικῶς ἑρμηνείαν τοῦ Συμβόλου, καὶ τοῦ, Πάτερ ἡμῶν, καὶ ἕτερα διάφορα πολεμικὰ καὶ ἐξηγητικά, καί τινα φιλοσοφικὰ ὑπομνήματα.

Μάξιμος ὁ Πελοποννήσιος ὁ συγγράψας τὸ ἐγχειρίδιον κατὰ τῆς ἀρχῆς τοῦ Πάπα ἁπλῇ μὲν τῇ φράσει, ἀλλ' ἰσχυρώτερον